Ἔχουσα φωνὴν ἐμπεπρησμένης ὑός.
Ξαν. Αἰβοῖ. Σω. τί δ' ἐστί; Ξαν. παῦε παῦε μὴ λέγε.
Ὄζει κάκιστον τοὐνύπνιον βύρσης σαπρᾶς.
Σω. Εἶθ' ἡ μιαρὰ φάλαιν' ἔχουσα τρυτάνην,
Ἵστη βόειον δημόν. Ξαν. οἴμοι δείλαιος
Τὸν δῆμον ἡμῶν βούλεται διϊστάναι.
Σω. Ἐδόκει δέ μοι Θέωρος αὐτῆς πλησίον
Χαμαὶ καθῆσθαι τὴν κεφαλὴν κόρακος ἔχων.
Εἶτ' Ἀλκιβιάδης εἶπε πρός με τραυλίσας
Ὁλᾷς Θέωλος τὴν κεφαλὴν κόλακος ἔχει.
Ξαν. Ὀρθῶς γε τοῦτ' Ἀλκιβιάδης ἐτραύλισεν.
Σω. Οὔκουν ἐκεῖν' ἀλλόκοτον, ὁ Θέωρος κόραξ
Γιγνόμενος. Ξαν. ἥκιστ' ἀλλ' ἄριστον. Σω. πῶς.
Ξαν. ὅπως;
Ἄνθρωπος ὢν εἶτ' ἐγένετ' ἐξαίφνης κόραξ.
Οὔκουν ἐναργὲς τοῦτο ξυμβαλεῖν, ὅτι
Ἀρθεὶς ἀφ' ἡμῶν ἐς κόρακας οἰχήσεται.
Σω. Εἶτ' οὐκ ἐγὼ δοὺς δύ' ὀβολὼ μισθώσομαι,
Οὕτως ὑποκεινόμενον σαφῶς ὀνείρατα.
Ξαν. Φέρε νυν κατείπω τοῖς θεαταῖς τὸν λόγον,
Ὀλίγ' ἄτθ' ὑπειπὼν πρῶτον αὐτοῖσι ταδί.
Μηδὲν παρ' ἡμῶν προσδοκᾶν λίαν μέγα.
Μηδ' αὖ γέλωτα Μεγαρόθεν κεκλεμμένον.
Ἡμῖν γὰρ οὐκ ἔστ' οὐδὲ κάρυ' ἐκ φορμίδος
Δούλω διαρριπτοῦντε τοῖς θεωμένοις.

A *Quæ vocem obesæ edebat in modum suis.*
*XA. Fafæ. SO. quid est? XA. narrare plura desine*
*Hoc somnium putorem olet corij malum.*
*SO. Ac tetra Pristis illa tum trutinam tenens*
*Ad hancce volgus exigebat bubulum.*
*XA. Hei mi ille populum credo nobis diuidet.*
*SO. Dein Theorus propter hanc humilis sedens*
*Visus Coracis est habere atrum caput,*
B *Tunc Alcibiades infit ore blæsulo,*
*Vides Theolus vt Colacis habet caput?*
*XA. Euge Alcibiadis verba blæsa recta sunt*
*SO. Non simile monstri est istud, vt coruus fiet.*
*Factus Theorus? XA. Quin bonum est. SO. Quare? XA. Rogas?*
*Coruum repente fieri homo antè qui fuit?*
*Vt certa res sit, quamque conijcias facul*
*Coruos abire istum quem in altum eueximus.*
C *SO. Operam duobus nunc tuam haud obolis locē,*
*Quum sic apertè delicas insomnia.*
*XA. Nunc sensum age istis offeram spectantib.*
*Sed præmonebo pauca quædam primitus*
*Grande atq; magnum vt ne quid exspectet nimis*
*Nec risum ineptum, siue Megarenses iocos*
*Nec serui habemus vel nuces ex sportula*
*Quas cogitemus iacere spectatoribus,*

Σχόλια. Ἐμπεπρησμένης.] ἐμπεφυσημένης. παχείας. πρῆσαι γὰρ τὸ φυσῆσαι. ἔνθεν καὶ πρηστήρ. καὶ Ὅμηρος. εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι. Τὸν δῆμον ἡμῶν βούλεται] πρὸς τὸν δῆμον καὶ τὸ ἵστη τὸ διϊστάναι ἐπήνεγκεν. ἀντὶ τοῦ διαχωρεῖσαι. παρὰ τοὺς τόνους δὲ ἔπαιξε, μίξας πρὸς τὰ σημαινόμενα. ἄλλως τε καὶ ἀφ' ἱστορίας τοῦτό φασι. καὶ γὰρ πρὸ δύο ἐτῶν τῆς διδασκαλίας τούτου τοῦ δράματος, Λακεδαιμονίων περὶ εἰρήνης πρεσβευσαμένων, ὁ Κλέων ἀπήλασε τοὺς πρέσβεις.

CHR. Ἐμπεπρησμένης ὑός] i. crassæ & obesę, nam πρῆσαι est φυσῆσαι vnde πρηστήρ. & Homer. εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι. Puto autem nō solùm ab obesitate hic Cleonem exagitari, sed etiam à voce stridula quæ suem imitetur. Propterea inter alia crimina vel vitia in Irena fabula ipsum vocat Paphlagona, nō tam propter regionem, quàm quòd ἐπαφλάζει τῇ φωνῇ. Τὸν δῆμον ἡμῶν βούλεται διϊστάναι] quia dixerat ἵστη βόειον δῆμον, addidit διϊστάναι quod est διαχωρῆσαι, luditque in verbis miscens significata, Quin ex historia hoc dictum est. Nā duobus annis antequam hanc fabulam doceret hic Comicus, cùm de pace legatos misissent Lacedæmonij, eos Cleon expulit, & abire coegit.

Σχόλια. Ἐδόκει δέ μοι Θέωρος.] οὗτος ὡς κόλαξ κωμῳδεῖται. Κόρακος ἔχων] καὶ ὡς ἅρπαγα αὐτὸν σκώπτων, ἐπήνεγκε τὸ, κόρακος κεφαλὴν ἔχει. ὁ αὐτὸς δὲ πονηρὸς καὶ μοιχὸς κωμῳδεῖται. Ἀλκιβιάδης] τοῦτον διαβάλλει ὡς τραυλόν. οἱ δὲ τραυλοὶ τὸ λ ἀντὶ τοῦ ρ λέγουσιν.

BISETVS Ὁλᾷς] ἀντὶ τοῦ ὁρᾷς; Θέωλος τὴν κεφαλὴν κόρακος ἔχει. τοῦτο δὲ μετὰ παιδιᾶς γέλωτος χάριν εἴρηται.

Σχ. Ἐτραύλισεν] ὁ τραυλισμὸς τοῦ στίχου εἰς τὸ Θέωρος. ὅτι προείρηται κόλαξ. ὅτι δὲ Ἀλκιβιάδης τραυλὸς, δῆλος τὸ λ ἀντὶ τὸ ρ λέγων. Ἀλλόκοτον.] τερατῶδες. ξένον. ἄτοπον. ἀλλοφυές. ὁ δὲ λόγος. δεινόν ἐστι τοῦτο τὸ ἐνύπνιον Θέωρος γινόμενος κόραξ.

BISETVS. Τινὲς οἴονται κατ' ἀντιστοιχίαν τοῦτο

D λέγεσθαι, ἀντὶ τοῦ ἀλλότοκον, ὅ ἐστι τὸ ἄλλοθί που τικτόμενον, ἢ τεχθὲν, τὸ ἀλλότριον, τὸ παρὰ φύσιν, τὸ ξένον, καὶ ἐξ ἄλλου τόκου, καὶ οὐ γνήσιον, οὐδ' ἐπιχώριον.

Σχ. Εἶτ' ἐγένετ' ἐξαίφνης] διὰ τοῦτο φησὶν καλὸν, ὅτι ἄνθρωπος ὢν, κόραξ ἐγένετο. διὸ καὶ ἐπιφέρει. ἀρθεὶς ἀφ' ἡμῶν, ἐς κόρακας οἰχήσεται. ἐπίτηδες δὲ τοῦτο εἶπεν, ὅπως ἂν τὸ βλάσφημον εὐκαίρως κατ' αὐτοῦ δόξῃ λέγειν.

CHR. Ἐς κόρακας] Prouerbium est quo exitium alicui & perniciem minitabantur, Quale illud, Abi in malam crucem, vt si secundùm Callimachum dixeris ἴν' ὁ φθόρος ἔνθα νέοιο. Hic ergo Theorum adulatorem & κόλακα iubet ire ἐς κόρακας, quasi ipse
E sit κόραξ aut corui caput habeat. Alcibiadis verò τραυλισμὸς satis celebris & notus. Ὑποκεινόμενον] Antiquè pro ὑποκρινόμενον, vt postea ὑπειπὼν est προειπὼν, sed κατείπω τὸν λόγον est simpliciter εἴπω, at λόγος est ὑπόθεσις, vt inferiùs paulò λογίδιον.

Σχ. Μεγαρόθεν] ἢ ὡς ποιητῶν ὄντων τινῶν ἀπὸ Μεγαρίδος ἀμούσων καὶ ἀφυῶς σκωπτομένων. ἢ ὡς τῶν Μεγαρέων γελώντων. καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίνοις. τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα.

F CHRIST. Μεγαρόθεν κεκλεμμένον] Inuehi videtur in Poetas quosdam ex Megaride ineptos & perperam dicaces, aut stultè ridentes, vt risu inepto nihil esse ineptius dixit Catullus. Megarenses autē hinc notat Eupolis προσπαλτίνοις, hoc versu τὸ σκῶμμ' ἀσελγὲς καὶ μεγαρικὸν σφόδρα. fortassis quia Megarica comœdia (vt est apud Sudam) ἤκμασε ἄωρος & derisui fuit Atheniensibus. Quod verò ait κε-
G κλεμμένον est ἀποσπασθέντα auulsum & abstractum. Sed notant Glossographi variam lectionē & Doricam κεκλαμμένον vt dicitur κλαπεὶς & qua ratione à τρέφω, τραφεὶς, τεθραμμένος.

Σχ. Κεκλαμμένον] ἀποσπασθέντα. γράφεται δὲ κεκλαμμένον δωρικῶς, ἀπὸ μετοχῆς τοῦ κλαπεὶς. ὡς τραφείς. ὥσπερ οὖν τεθραμμένον, οὕτω κεκλαμμένον ἔφη.

Ἐκ φερ-